www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ ΠΑΝΤΩΝ

# ΤΩΝ ΣΤΡΑΤΙΩΤΙΚΩΝ ΑΓΙΩΝ

(ὧν ἡ σύναξις τῇ κδ΄ Μαΐου)




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης
Ἐκκλησίας,
προνοίᾳ τοῦ Αἰδεσιμολογιωτάτου π. Νήφωνος Ἀλεξίου,
Διευθυντοῦ Διευθύνσεως Θρησκευτικοῦ ΓΕΕΘΑ.

www.tezaurliturgic.ro

* ὑ´ * 2000 *



## ΤΗ ΚΔ´ ΜΑΪΟΥ ΨΑΛΛΕΤΑΙ
## Η ΑΚΟΛΟΥΘΙΑ ΠΑΝΤΩΝ ΤΩΝ ΣΤΡΑΤΙΩΤΙΚΩΝ ΑΓΙΩΝ

* * *

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. στ´ καὶ ψάλλομεν τὰ ἀκόλουθα προσόμοια
.

Ἦχος δ´. Ὡς γενναῖον ἐν μάρτυσι.

Τὸ χριστώνυμον στράτευμα,
ἀθλητῶν εὐφημήσωμεν,
τοὺς αἱμάτων χύσεσι κατασβέσαντας,
εἰδωλικὴν ματαιότητα,
καὶ σθένει κηρύξαντας,
τὴν θεότητα Χριστοῦ,
βασιλέων ἐνώπιον,
ὥσπερ λέοντες,
πῦρ ἐκπνέοντες ζήλου θεοψύχου,
καὶ λαβόντας ἀφθαρσίας,
τὸν ἀμαράντινον στέφανον.

Τὴν στρατείαν τὴν πρόσκαιρον,
ἀρνηθέντες εἰλήφατε,
ὅπλα τὰ τοῦ Πνεύματος παναοίδιμοι,
καὶ συμπλακέντες διάβολον,

καλῶς ἐνικήσατε,
τῷ ὀνόματι Χριστοῦ,
δι᾽ Ὃν πάντα ἡγήσασθε,
ὥσπερ σκύβαλα·
διὸ νῦν συγχορεύετε ἀγγέλοις,
εἰς τὴν ἄνω Βασιλείαν,
καὶ αἰωνίως ἀγάλλεσθε.

Οὐ τὸ ἄνθος τοῦ σώματος,
οὐ τιμαὶ αἱ βασίλειοι,
οὐ χρημάτων πλοῦτος ἀειμακάριστοι,
οὐδὲ ἡ δόξα στρατεύματος,
ψυχὴν κατεμάραναν,
ἀλλ᾽ ὁ πόθος τοῦ Χριστοῦ,
ταῦτα πάντα ἠφάνισε,
καὶ ἠνάλωσε·
διὸ πλῆθος ὑπέστητε βασάνων,
καὶ στρατῷ ἐπουρανίῳ,
συγκατελέγητε χαίροντες.

᾽Επὶ ξύλου κρεμάμενον,
τὸν Χριστὸν θεασάμενος,
ὁ Λογγῖνος ἔκραξεν·
Οὗτος πέφυκεν,
Θεοῦ Υἱὸς ἀληθέστατος.
Διὸ ἀρνησάμενος,
βασιλέα τὸν φθαρτόν,
ἰσαπόστολος γέγονε,
καὶ ἀπείληφε,
τὸ βραβεῖον τῆς ἄνω βασιλείας,
ἑκατόνταρχος ὁ θεῖος,
στρατιωτῶν μάρτυς πρώτιστος.

Πέτρου θείῳ ὁράματι,
ὁ Κορνήλιος κέκληται,
εἰς Χριστοῦ τὸ στράτευμα καὶ βεβάπτισται,
καὶ δυναμούμενος Πνεύματι,

λαμπρῶς Εὐαγγέλιον,
γῆς κηρύττων πανταχοῦ,
μαρτυρίῳ ἐνήθλησεν ὁ ἀήττητος·
οὗ τὸ σθένος καὶ θείαν παῤῥησίαν,
στρατιῶται χριστοφόροι,
οἱ μετ' αὐτὸν ἐμιμήσαντο.

Ὁ γενναῖος Δημήτριος,
ὁ πολύτλας Γεώργιος,
οἱ κλεινοὶ Θεόδωροι καὶ Προκόπιος,
Σάββας, Εὐστάθιος, Μέρτιος,
Μελέτιος, Γόρδιος,
Τεσσαράκοντα σεπτοί,
ὁ Μερκούριος, Δάλματος, καὶ Ἀρτέμιος,
σὺν πληθύϊ ἐνδόξῳ τῶν Μαρτύρων,
εὐφημείσθωσαν ἐν ὕμνοις,
στρατιωτῶν τὰ καυχήματα.

Δόξα. Ἦχος πλ.β.

Δικαίαν κρίσιν ποιησάμενοι, ἀθλοφόροι στρατιῶται,
τῆς ἐπικήρου στρατείας, τὴν ἄφθαρτον προετιμήσατε·
καὶ τὴν πανοπλίαν τοῦ Πνεύματος ἐπενδυσάμενοι,
τὸν νοητὸν Γολιὰθ λαμπρῶς κατενικήσατε,
ἐν πυρὶ καὶ ὕδατι καὶ μαχαίρᾳ, τὸ ζῆν ἐνδόξως ἐκμετρήσαντες·
τὸν Χριστὸν δὲ μεγαλοφώνως ἐκηρύξατε,
εἶναι ἀληθῶς τὸν Υἱὸν τοῦ Θεοῦ,
Ὅστις κατέστεψεν ὑμᾶς καὶ ταξιάρχας κατέστησε,
τῆς οὐρανίου Βασιλείας,
πρεσβεύοντας ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον.

Ἀναγνώσματα μαρτυρικά.

## Παροιμιῶν τὸ ἀνάγνωσμα

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν. Οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν. Πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν καὶ δόξαν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

## Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ

εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ παῖς, ὃν ἐξελεξάμην. Ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α΄.

Τὴν πολυείδειαν τοῦ βίου σοφῶς ἀποῤῥίψαντες,
ὡς μηδαμῶς συμβάλλουσαν τῇ αἰωνίῳ ζωῇ,

καὶ πυρποληθέντες τῇ ἀγάπῃ τοῦ Κυρίου,
πᾶσαν μέριμναν τιμῆς καὶ δόξης κοσμικῆς,
ἀπηρνήσασθε ἐν γνώσει, ἀθλοφόροι ἔνδοξοι·
ὡς βαλόντες δὲ τὴν χεῖρα ἐπ᾽ ἄροτρον τῆς οὐρανῶν Βασιλείας,
γεηρῶν βασιλέων κατεφρονήσατε,
συστρατευθέντες τοῖς τάγμασι τῶν Ἁγίων,
μεθ᾽ ὧν παριστάμενοι ἀδιαστάτως,
πρεσβεύσατε ὑπὲρ ἡμῶν ὡς φιλάδελφοι.

Ἦχος β΄.

Υἱοὶ φωτὸς καὶ ἡμέρας γεγονότες διὰ τῆς τοῦ Χριστοῦ πίστεως,
τὸ εἰδωλικὸν σκότος ἐμυκτηρίσατε θεολογοῦντες,
στρατιῶται γενναιόψυχοι·
καὶ τὴν σωτηριώδη οἰκονομίαν στεντορείως ἀνακηρύξαντες,
θύματα λογικὰ ἀπεφάνθητε διὰ τοῦ μαρτυρίου·
στεφθέντες δὲ ἀμαραντίνῃ δόξῃ,
μὴ ἐπιλάθεσθε καὶ ἡμῶν,
συστρατιῶται παμμακάριστοι.

Ἦχος γ΄.

Τὸν θώρακα τῆς πίστεως ἐπενδυσάμενοι,
καὶ τὴν λόγχην τοῦ σωτηρίου χειρωσάμενοι,
κατὰ τοῦ ἀρχεκάκου ἐχθροῦ ἐστρατεύθητε,
τοῦ Χριστοῦ καλλιμάρτυρες στρατιῶται·
νίκην δὲ τὴν ζωηφόρον γενναίως στοχεύσαντες,
διὰ τοῦ αἵματος ὑμῶν ταύτην ἐξωνήσασθε·
τῆς Ἐκκλησίας γενόμενοι δόξα καὶ κλέος,
καὶ ἡμῶν τῶν πιστῶν ἐν παντὶ φρουροὶ ἀσφαλέστατοι.

Ἦχος δ΄.

Δυσὶ κυρίοις μὴ θέλοντες διακονεῖν ἐν ὑποκρίσει,

τῆς γεηρᾶς ἐξουσίας προετιμήσατε,
τὸν ἐπουράνιον Βασιλέα, χριστομάρτυρες·
καὶ τῆς ἁγιωνύμου φαλαγγαρχίας τῇ θεοπλέκτῳ σειρᾷ συνταγέντες,
τῇ δυνάμει τοῦ Ἁγίου Πνεύματος
ἐκ στρατιωτῶν θεολόγοι αὐτοσχέδιοι ἐγεγόνατε·
Εἷς ἐστὶν Θεὸς κραυγάζοντες ἡ ὁμοούσιος Τριάς,
δι' ἣν πάντα ὡς σκύβαλα καταφρονοῦντες,
ζωῆς τῆς ἀληθοῦς ἀσφαλῶς ἐπιτευξόμεθα.
ἧς κληρονόμοι μακάριοι ὄντες,
μνήσθητε τῶν ἐν πόθῳ τιμώντων ὑμᾶς θεόστεπτοι.

Δόξα. Ἦχος πλ.α΄.

Τὴν δαπάνην τῆς πνευματικῆς στρατείας λογισάμενοι,
πάντων κατεφρονήσατε ὡς μὴ ὄντων,
γενναιόψυχοι στρατιῶται τοῦ Χριστοῦ,
ἀπαρνησάμενοι ἀνδρικῶς δόξαν μαραινομένην
καὶ τὸ παράπαν μὴ δυναμένην τὴν ψυχὴν ὠφελῆσαι.
Βασάνοις δὲ πολυειδέσι ἀγωνισάμενοι,
ἐλάβετε τὸ στέφος τῆς ἀθανασίας,
καὶ εἰρηνεύσαντες τῇ ἀκυμάντῳ Βασιλείᾳ,
πρεσβεύετε ἀπαύστως τῷ οὐρανίῳ Στρατηγῷ καὶ Ἀθλητάρχῃ,
ὑπὲρ ἡμῶν Μάρτυρες θεομακάριστοι.
Καὶ νῦν. Τῆς παρελθούσης ἑορτῆς.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια.
Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, παρεμβολὴ τοῦ Χριστοῦ,
στρατιωτῶν στεφανηφόρων τὸ σύνταγμα,
Λογγῖνε πρῶτε τῇ τάξει,
σὺν Κορνηλίῳ σοφῷ,
Σεβαστιανέ τε καὶ Εὐστάθιε·

Θεόδωροι σύναθλοι,
Σιλβανὲ καὶ ᾿Αρτέμιε,
Οὔαρε θεῖε, καὶ Εὐσίγνιε πάντιμε,
Ζήνων ἔνδοξε, σὺν Ζηνᾷ τῷ θεόφρονι·
πάντες καθικετεύσατε,
Θεὸν τὸν φιλάνθρωπον,
ὅπως παράσχῃ πλουσίως,
τοῖς ὑμᾶς πόθῳ προσπίπτουσι,
εἰρήνην βεβαίαν,
ἀταλάντευτον ἐν πᾶσι,
καὶ μέγα ἔλεος.

*Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Χαίροις, ζεῦγος Χριστοῦ ἀθλητῶν,
Σέργιε Βάκχε, οἱ κλεινοὶ κυντιήλιοι,
Δημήτριε Μυροβλύτα,
στρατιωτῶν καλλονή,
καὶ Τροπαιοφόρε ἀκαταίσχυντε,
Προκόπιε ἔνδοξε,
Βαλεντίων, Πασίκρατες,
Γόρδιε θεῖε,
Βασιλίσκε, Κλεόνικε,
καὶ Εὐτρόπιε,
ἡ τριὰς ἡ ὁμόστεπτος·
Μάρτυρες Τεσσαράκοντα,
ἐν λίμνῃ ἀθλήσαντες,
σὺν τῷ κλεινῷ Μελετίῳ,
καὶ Θεοδούλῳ θεόφρονι·
ὁμοῦ τὸν Δεσπότην,
ἱκετεύσατε γενναῖοι,
ἡμῖν δεόμεθα.

*Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίῳ, ἐν αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.*

Χαίροις, στρατηλατῶν ἡ δυάς,
Σάββα καὶ Σάββα,
γένους Γότθων καυχήματα,
Πολύευκτε καὶ Ἰοῦστε,
Φαῦστε, Δαλμάτε, Μηνᾶ,
Ἰσαάκιέ τε, καὶ Καλλίστρατε,
ὁ Πρόβος, ὁ Τάραχος,
Ἰωάννης, Ἀνδρόνικος,
Θεόδουλός τε,
Παμφαμὴρ καὶ Μερκούριος·
Δάσιε καὶ Μαυρίκιε,
Μαρτῖνε, Νικόλαοι,
Οὐρσίκιέ τε Ἀνδρέα,
Ὀρέστα, Παῦλε, Εὐδόξιε,
σὺν πᾶσι τοῖς ἄλλοις,
ἐν Χριστῷ συστρατιώταις,
πάντοτε χαίρετε.

Δόξα. Ἦχος πλ.δ΄.

Τῶν παρόντων ὡς μὴ ὄντων,
διὰ τὴν τῶν μελλόντων καὶ μενόντων ἡδονήν,
ἀνδρικῶς ἀλογήσαντες ἀθλοφόροι,
ὁλοψύχως ὑπετάγητε τῇ εὐαγγελικῇ εὐελπιστίᾳ,
ἐξοπλισθέντες τῇ παυλείῳ ἁρματοφορίᾳ·
καὶ δαβιτικῶς τὴν σφενδόνην τοῦ Πνεύματος
χειρισάμενοι,
τὸν νοητὸν Γολιὰθ διὰ τῆς γενναιοψύχου ὁμολογίας,
ἐνώπιον τυράννων εἰδωλολατρούντων κατεβάλετε·
ὅλον τὸν Χριστὸν δὲ πνέοντες ἀξιοποθήτως,
τούτῳ συνεκράθητε διὰ τῆς μαρτυρικῆς αἱματεκχυσίας·
Ὦ καὶ συνόντες στρατιῶται ἁγιώνυμοι αἰωνίως,
πρεσβεύσατε, δεόμεθα, ὑπὲρ εἰρήνης τοῦ κόσμου,
εὐλογίας Πατρίδος φιλτάτης,
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

www.tezaurliturgic.ro

Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χριστοῦ ἀγαπήσαντες,
τὴν μακαρίαν ζωήν,
λατρείαν ἠρνήσασθε,
εἰδωλικὴν ἐκ ψυχῆς,
σταυρῷ συνταξάμενοι.
Ὅθεν στρατείαν κόσμου,
κατελίπετε πόθῳ,
καὶ διὰ μαρτυρίου,
ἐκληρώσασθε δόξαν,
πρεσβεύοντες ἀπαύστως,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

καὶ τὸ τῆς Ἑορτῆς.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εἰς τὴν α΄ στιχολογίαν. Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Γενναῖοι ἀθληταί,
τοῦ Κυρίου φανέντες,

ἠρνήσασθε τιμὰς καὶ ἐπίκηρον δόξαν,
ποθοῦντες τὰ αἰώνια
καὶ τὰ μένοντα Μάρτυρες·
ὅθεν στράτευμα, τοῦ Βασιλέως τῆς δόξης,
ἀνεδείχθητε,
ἐν οὐρανοῖς μετ' ἀγγέλων,
ἡμῖν ἐπευχόμενοι.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἰς τὴν β´ στιχολογίαν. Κάθισμα. Ἦχος γ´. Τὴν ὡραιότητα.

Τὸν πολυμήχανον, ἐχθρὸν νικήσαντες,
ὅπλοις τῆς πίστεως, Μάρτυρες ἔνδοξοι,
ἀπαρνησάμενοι σοφῶς,
στρατείαν τὴν φθειρομένην·
τῶν εἰδώλων πίστιν δέ,
ἐκ ψυχῆς ἀπηλέγξατε,
τοῦ Χριστοῦ θεότητα,
ἐν σταδίῳ κηρύξαντες.
Αὐτὸν ὑπὲρ ἡμῶν ἀθλοφόροι,
διηνεκῶς καθικετεύσατε.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος δ´. Ἐπεφάνης σήμερον.

Βασιλεῖ πειθόμενοι,
τῷ οὐρανίῳ,
ἐκ ψυχῆς ἠρνήσασθε,
εἰδωλικὴν πλάνην σοφοί,
διὸ θανάτῳ εἰλήφατε,
στέφος τῆς δόξης,
ἀήττητοι Μάρτυρες.

Δόξα. Καὶ νῦν, Τῆς ἑορτῆς.

Οἱ ᾿Αναβαθμοί· τὸ α´ ἀντίφωνον τοῦ δ´ ἦχου· ᾿Εκ νεότητός μου.

Προκείμενον· Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.....

Στίχος· Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.....

Εὐαγγέλιον· τὸ ἐν τῷ ὄρθρῳ τοῦ ἁγ. Γεωργίου (κγ´ ᾿Απριλίου).

᾿Ανάστασιν Χριστοῦ θεασάμενοι.

῾Ο Ν´. ᾿Ελέησόν με ὁ Θεός....

Δόξα. Ταῖς τῶν ᾿Αθληφόρων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

καὶ τὸ ἰδιόμελον. ῏Ηχος πλ.β.

*Στίχ. ᾿Ελέησόν με ὁ Θεός....*

Σήμερον τοὺς ἀθλοφόρους τοῦ Χριστοῦ,
τῆς οὐρανίου στρατείας τὰ θεομύριστα ἄνθη,
καὶ τῶν μαρτύρων τοὺς ἀνδρειοψύχους ὁμολογητάς,
ἐν ὕμνοις φαιδρῶς μεγαλύνωμεν,
καὶ ὡς παῤῥησίαν ἔχοντας θερμῶς ἱκετεύσωμεν·
πρεσβεύσατε πανένδοξοι ὑπὲρ εἰρήνης τοῦ κόσμου,
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...κλπ.

Εἶτα οἱ κανόνες κατὰ τὴν τάξιν.

῾Ο κανὼν τῶν ῾Αγίων, οὗ ἡ ἀκροστιχίς:
"Χορὸν στρατιωτῶν Χριστοῦ συνυμνήσω. ᾿Α(θανάσιος)".

᾿Ωδὴ α´. ῏Ηχος δ´. ᾿Αναστάσεως ἡμέρα.

Χαροπάροχος ἡμέρα ἐξανέτειλε νῦν,

ἐπὶ τῇ θείᾳ μνήμῃ,
στρατιωτῶν τῶν τοῦ Χριστοῦ,
καθελόντων κραταιῶς,
ἀρχαῖον ἐχθρόν,
διὸ δεῦτε ἅπαντες,
ἐν ᾠδαῖς τούτους στέψωμεν.

Οὐρανῶν τὸν Βασιλέα καὶ τοῦ κόσμου παντός,
Χριστὸν ὁμολογοῦντες,
εἰδωλικὴν πυρκαϊάν,
κατεσβέσατε σοφῶς
ἐνστάσει ὑμῶν,
διὸ ἀπελάβετε,
δόξαν ἄφθιτον Μάρτυρες.

Ῥητορεύουσαι γλῶσσαι οὐκ ἀρκοῦσιν ὑμῶν,
ᾆσαι τοὺς θείους ἄθλους,
οὓς ὑπὲρ δόξης τοῦ Θεοῦ,
καθυπέστητε σοφοί,
καὶ πόνους πολλούς,
ὡς ὄντως ἰσάγγελοι,
καὶ ἀσώματοι ἄνθρωποι.

Θεοτοκίον

Ὁ Υἱός σου Θεοτόκε τῶν Μαρτύρων χαρά,
πέλει καὶ μόνη δόξα,
δι᾽ Ὃν ὡς σκύβαλα τιμάς,
καὶ σαρκὸς τὰς ἡδονάς,
ἀνδρείᾳ ψυχῆς,
σαφῶς ἀρνησάμενοι,
νῦν σκιρτῶντες εὐφραίνονται.

᾿Ωδὴ γ´. Δεῦτε πόμα πίωμεν.

Νίκην ἀπειλήφατε καλήν,
κατ᾽ ἐχθροῦ τοῦ ἀρχαίου ἅγιοι Μάρτυρες,

θεολογήσαντες Χριστόν,
Υἱὸν ὁμοούσιον,
τῷ Πατρὶ καὶ τῷ Πνεύματι.

Σῶμα τὸ φθειρόμενον σοφῶς,
στρατιῶται ἀήττητοι ὑπερίδετε,
διὰ τὴν μέλλουσαν ζωήν,
ἐν ᾗ ἀπολήψεσθε,
τοῦτο χάριτι ἄφθαρτον.

Τεῖχος ἀπροσμάχητον ὑμῖν,
ἐγεγόνει Κυρίου τὸ θεῖον ὄνομα,
ἐν ταῖς βασάνοις ἀθληταί,
τυράννοις κραυγάζοντες·
Χριστιανοὶ ἐσμὲν ἅπαντες.

Θεοτοκίον

Ῥῆξον τὰ δεσμὰ Μῆτερ Ἁγνή,
τὰ δεσμοῦντα ψυχήν μου καὶ ἐλευθέρωσον,
ἀπὸ παθῶν δυσαχθῶν,
πρεσβείαις σου ταῖς ἱκετικαῖς,
ὅπως χαίρων δοξάζω σε.

Κάθισμα. Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι,
Θεὸν μόνον ὑπάρχοντα ἐκηρύξατε,
πρὸ βασιλέων ἀπηνῶν γενναιότατοι,
στρατιῶται εὐσθενεῖς,
τοῦ Βασιλέως οὐρανῶν,
διὸ τὴν πλάνην εἰδώλων,
καταπατήσαντες στέφος,
ἀθανασίας ἀνεδήσασθε.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Ὠδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.

Ἀπαρνησάμενοι σοφῶς πάντα τοῦ βίου τὰ τερπνά,
εὕρατε τρυφὴν τὴν ἀγήρω,
καὶ πρὸς πίστιν εἵξατε,
πολλοὺς ὑμῶν βλέποντας,
τὸ καρτερικὸν ἐν βασάνοις,
καὶ τὴν θερμότητα ἀγάπης πρὸς Κύριον.

Τεῖχος κατέχοντες στεῤῥόν ὁμολογίας τοῦ Χριστοῦ,
νίκην ἐπεσπάσασθε θείαν,
καὶ ὡς ξῖφος χρώμενοι,
εὐχῇ ἅγιοι Μάρτυρες,
εἰδωλικὴν πλάνην καιρίως,
ἐναπετάμετε κάραν τεμνόμενοι.

Ἵνα τηρήσητε καλῶς τὰς τοῦ Δεσπότου ἐντολάς,
νόμοις τυραννούντων οὐδόλως,
Μάρτυρες ὑπήχθητε,
ἀλλὰ στεῤῥῶς ἐλέγξαντες,
ψεῦδος τῆς ἀπάτης εἰδώλων,
μετὰ ἁγίων ἠριθμήθητε τοῖς τάγμασι.

Θεοτοκίον

Ὡς φαιδροτέρα σοῦ Υἱοῦ θεία Ἀνάστασις Ἁγνή,
πέφυκε τῇ μνήμῃ Μαρτύρων,
συγκραθεῖσα σήμερον,
καὶ πρακτικῶς ἐμφαίνουσα,
χάριν ἥνπερ εἴληφε γένος,
ἡμῶν ἐκ τάφου τοῦ Χριστοῦ ἀνατείλαντος.

Ὠδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Τρωθέντες ἀγάπῃ Κυρίου,
τῶν φαινομένων ἠρνήσασθε ὡς μὴ ὄντων,

καὶ ἀσπίδας ῥίψαντες,
καὶ δόρατα πανεύφημοι,
μαρτυρικῶς ἠριστεύσατε.

Ὠνήσασθε τὴν βασιλείαν,
ὡς ὁ εὑρὼν τὸν πολύτιμον μαργαρίτην,
θέατρον γενόμενοι,
καὶ κεφαλὰς τεμνόμενοι,
δυναμωθέντες θείᾳ χάριτι.

Νικῶντες ἐχθροὺς φαινομένους,
καὶ τὸν ἀόρατον αὖθις ταπεινωθέντα,
Μάρτυρες ἐδείξατε,
καὶ στέφη ἀνεδήσασθε,
ἐκ θανατώσαντος τὸν θάνατον.

Θεοτοκίον

Χορεύει ἡ κτίσις λαβοῦσα,
ἀρχαῖον κάλλος Χριστοῦ ἐξ ἐγέρσεως,
Δέσποινα Πανάμωμε,
ὡς καλῶς διδάσκουσι,
πλήθη Μαρτύρων θεόστεπτα.

ᾨδὴ Ϛ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Ῥανίσιν,
σεπτῶν αἱμάτων ὑμῶν,
ἐλευκάνατε ψυχῆς τὸν χιτῶνα,
καὶ λόχους τῶν ἀνισχύρων ἐχθρῶν,
ἐνικήσατε,
καρτερίᾳ ἀνδρικῶς,
τοῦ Χριστοῦ ἀθλοφόροι.

Ἰάσεις,
ἐπιτελεῖτε πιστοῖς,

www.tezaurliturgic.ro

τοῖς προστρέχουσιν ὑμῶν τοῖς λειψάνοις,
λαβόντες τῶν χαρισμάτων πληθύν,
ἣν δεδώρηται,
τοῖς αὑτοῦ ἀθληταῖς,
ὁ καλὸς στεφοδότης.

Σωμάτων,
ὑποβληθέντων δεινοῖς,
ἐν βασάνοις οὐκ ᾐσθάνεσθε ὅλως,
διδόντος τοῦ Ἰησοῦ τὴν ἰσχύν,
ὡς προοίμιον,
ἀγαθῶν τῶν πολλῶν,
ὧν γενναῖοι τρυφᾶτε.

Θεοτοκίον

Τρωθέντες,
βέλει ἀγάπης Χριστοῦ,
Θεοτόκε οἱ χοροὶ τῶν Μαρτύρων,
ὑπήνεγκαν πόνους πολλούς,
καὶ ἐκήρυξαν,
πρὸ τυράννων δεινῶν,
ὡς Θεὸν τὸν Υἱόν σου.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Ἐπιποθοῦντες οὐρανῶν βασιλείαν,
καὶ ἀφθαρσίαν τῆς ζωῆς τῆς μελλούσης,
τὴν δόξαν ἀπηρνήσασθε στρατείας κοσμικῆς·
ὅπλα ἐνδυθέντες δέ,
κατὰ Παῦλον τὸν μέγαν,
τοῦ Ἁγίου Πνεύματος,
τῶν δαιμόνων τὴν πλάνην,
ὡς στρατιῶται ἔνδοξοι Χριστοῦ,
Μάρτυρες θεῖοι,
καλῶς ἐνικήσατε.

## Ὁ Οἶκος

Δορυφορίαν κοσμικὴν καὶ δόξαν τῆς στρατείας,
διὰ τὴν πίστιν τοῦ Χριστοῦ ἀπαρνηθέντες ἐκ ψυχῆς,
τὴν τοῦ Σταυροῦ μωρίαν ὡς ζωοπάροχον
εἵλεσθε ἀθλοφόροι, τὸ εἰδωλικὸν σκότος ἀπελέγξαντες·
καὶ τὰ προστάγματα τοῦ οὐρανίου Βασιλέως θέλοντες τηρεῖν,
πρὸς συμπλοκὰς τῶν ἀσωμάτων δαιμόνων γενναίως εἰσήλθετε·
διὸ πῦρ καὶ ξίφη καὶ ὕδωρ καὶ δειροτομήσεις ὑποστάντες,
Θεὸν καὶ ἄνθρωπον τέλειον τὸν Κύριον ἀνακηρύξαντες,
νῦν ἀπολαύετε τῶν αἰωνίων ἀγαθῶν.
Ὅθεν ὑπὲρ ἡμῶν μὴ παύσεσθε πρεσβεύειν
τὴν παναγίαν Τριάδα δεόμεθα, δι' ἧς δυναμούμενοι,
Μάρτυρες θεῖοι,
καλῶς ἐνικήσατε.

## Τὸ Συναξάριον

Τῇ ΚΔ´ τοῦ μηνὸς Μαΐου τὴν σύναξιν ἑορτάζομεν πάντων τῶν στρατιωτικῶν Ἁγίων.

## Στίχοι

Αἱμάτων χύσει ὑπογράψαντες πίστιν,
ἐστέφθητε δόξῃ, Χριστοῦ στρατιῶται.

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ´. Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος.

Οὐ πόθος ἡδονῶν τῶν τοῦ σώματος,
οὐδὲ τιμαὶ αἱ πρόσκαιροι,

ἔσβεσαν ὁρμὴν,
ἐκ τῶν ψυχῶν ὑμῶν σοφοί,
διὸ θάνατον πάντες προείλεσθε,
Χριστοῦ ἐπενδύσασθαι ποθοῦντες,
ζωὴν τὴν ἀκατάληκτον.

Ὑψώθη εἰς τὰ πέρατα ἅπαντα
ὑμῶν σοφοὶ τὸ ὄνομα,
ὅτι κραταιῶς,
σκότος εἰδώλων μανικόν,
ὡς Χριστοῦ στρατιῶται ἐλύσατε,
γενόμενοι τύποι μαρτυρίας,
τοῖς ἀληθῶς πιστεύουσι.

Σημεῖα τῆς Χριστοῦ ἀγαπήσεως,
γεγόνατε θεόφρονες,
ὅθεν ψαλμικῶς,
φλόγα διήλθετε πυρός,
καὶ ὑδάτων πνιγμοῦ μετεσχήκατε,
κηρύττοντες πρὸ τῶν διωκόντων,
Θεάνθρωπον τὸν Κύριον.

Θεοτοκίον

Υἱόν σου τὸν γλυκύτατον Πάνσεμνε,
ἱκέτευε δεόμεθα,
ὅπως ἐν χαρᾷ,
ἀδιαλείπτῳ τὴν ζωήν,
καὶ εἰρήνῃ τηρήσῃ τῶν πόθῳ σε,
Μητέρα Αὐτοῦ ὁμολογούντων,
καὶ πρέσβιν κατεχόντων σε.

Ὠδὴ η΄. Αὕτη ἡ κλητή.

Νόων οἱ χοροὶ ὑπεδέχθησαν πόθῳ,
ὑμᾶς ὦ στρατιῶται τοῦ Βασιλέως τῆς δόξης,

τὰς βασάνους ἐν γῇ,
καὶ τοὺς πόνους ἰδόντες οὓς ἔτλητε,
Χριστὸν ὁμολογοῦντες,
Θεὸν πάντων αἰώνων.

Ὕψωσον φωνὴν λιγυρὰν Ἐκκλησία,
πλουτοῦσα νέφος θεῖον ἀπειραρίθμων Μαρτύρων,
παλαιῶν καὶ καινῶν,
τὴν στρατείαν λιπόντων τὴν πρόσκαιρον,
καὶ ἐν βασάνοις πλείστοις,
τὸ στέφος εἰληφότων.

Μίαν νῦν ὑπάρχει ἡ σύνταξις Μαρτύρων,
ποικίλων ἐκ πατρίδων καὶ γένους πολυτρόπου,
ἐν Χριστῷ γὰρ ἐστίν,
ἐπιγείων ἁπάντων ὑπέρβασις,
πατρὶς δὲ ποθουμένη,
Παράδεισος ὁ θεῖος.

Θεοτοκίον

Νέους καὶ καινοὺς τοὺς πιστοὺς ὁ Δεσπότης,
Παρθένε θέλων εἶναι τὸν θάνατον ὑπέστη,
ἵνα δῷ πλησμονήν,
χαρισμάτων αὐτοῦ καὶ τὴν δύναμιν,
ὅπως τοῦ βελίαρ,
συντρίβωσι τὴν κάραν.

Ὠδὴ θ΄. Φωτίζου, φωτίζου.

Ἠνοίγη ἡ πύλη,
τῆς Βασιλείας οὐρανῶν,
τῷ κλειδὶ τῶν αἱμάτων,
ἅπερ ἐξεχέατε,
ὑπὲρ Χριστοῦ τοῦ Κυρίου ἡμῶν,
ὁ δὲ μισθός,

τῶν ἀγωνισμάτων,
ὑμῶν ζωὴ ἡ αἰώνιος.

Στρατὸν τῆς ῾Ελλάδος,
σκέποιτε Μάρτυρες Χριστοῦ,
τὸν τιμῶντα ἐν πόθῳ,
μνήμην ὑμῶν σήμερον,
εἰρηνικὴν διδόντες ζωήν,
καὶ μετοχήν,
θείας βασιλείας,
ταῖς πρὸς τὸν Κύριον δεήσεσιν.

῏Ω δόξης ἀφθάρτουπ
ὢ οὐρανίων δωρεῶνπ
ὢ θεώσεως ταύτηςπ
ἧς νῦν ἀπολαύετε,
Μάρτυρες θεῖοι Χριστοῦ ἀθληταί·
διὸ ἡμᾶς,
ἀγωνιζομένους,
ἐπιστηρίζοιτε εὐχόμενοι.

Θεοτοκίον

῾Αγίας σου χεῖρας,
ὑψοῦ ἀεὶ πρὸς τὸν Χριστόν,
ὡς βασίλισσα κόσμου,
Θεοτόκε ἔνδοξε,
καὶ τὴν εἰρήνην ἐξαίτει ἡμῖν,
ὅπως καλῶς,
ὧδε πορευθέντες,
ζωὴν κερδήσωμεν τὴν μέλλουσαν.

᾿Εξαποστειλάριον

῏Ηχος Β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.

Λεοντοψύχως Ἅγιοι,
τὸν ἐχθρὸν καθελόντες,
Χριστὸν ὡμολογήσατε,
πρὸ τυράννων ἀδίκων,
καὶ τῶν εἰδώλων τὴν πλάνην,
ἀπελέγξατε φαύλην,
διὸ καὶ ἀπελάβετε,
αἰωνίων στεφάνων τὴν ἀμοιβήν,
πάντοτε πρεσβεύοντες τῷ Κυρίῳ,
ὡς στρατιῶται τίμιοι,
τῆς σεπτῆς Ἐκκλησίας.

καὶ τὸ τῆς Ἑορτῆς.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἀποκτεινόντων τὸ σῶμα
τὰς φοβερὰς ἀπειλάς,
καὶ τὰς σφοδρὰς βασάνους,
τῶν εἰδωλομανούντων,
γενναῖοι στρατιῶται
Χριστοῦ τοῦ Θεοῦ,
οὐδαμῶς ἐπτοήθητε,
ἀλλ' ἀνδρικῶς ἐκτμηθέντες τὰς κεφαλάς,
αἰωνίως νῦν ἀγάλλεσθε.

Στρατολογίαν ποθοῦντες,
τὴν ἐπουράνιον,
τὴν θείαν πανοπλίαν,
ἐνεδύθητε πάντες,
δι' ἧς τῆς ἀσεβείας πυρκαϊάν,
χριστοψύχως ἐσβέσατε,
καὶ γενναιότητι ἄπρακτον τὸν ἐχθρόν,
τῶν ψυχῶν ἐναπεδείξατε.

Ἀγρὸς πολύφορος ὤφθης,
Χριστοῦ Γεώργιε,
καὶ Θεσσαλονικέων,
σὺ Δημήτριε ῥύστης,
οἱ σύνδυο δὲ πάντων στρατιωτῶν,
τῆς Ἑλλάδος ὑπέρμαχοι,
οὓς περ τελοῦντας τὴν μνήμην ὑμῶν πιστῶς,
σωτηρίας ἀξιώσατε.

Σὺν ἀσωμάτοις χορείαις,
ἐπευφραινόμενοι,
τῷ θρόνῳ τῆς Τριάδος,
ἱκετεύσατε ταύτην,
ὑπὲρ στρατοῦ Ἑλλάδος,
Χριστοῦ ἀθληταί,
ὡς φιλάδελφοι Ἅγιοι,
εἰρηνικῆς καταστάσεως καὶ ψυχῶν,
σωτηρίας τῶν τιμώντων ὑμᾶς.

Δόξα. Ἦχος πλ.α´.

Τῆς ἐπιγείου στρατείας καταλιπόντες τὴν χοραρχίαν
τοῖς ἀγγελικοῖς τάγμασι συνημιλλήθητε, Μάρτυρες·
καὶ τῆς πίστεως τὸ κεφάλαιον διατόρως κηρύξαντες,
ἐνώπιον τυράννων καὶ βασιλέων,
τῷ αἵματι ὑμῶν συνήφθητε τῷ ἀκρογωνιαίῳ λίθῳ Χριστῷ·
ὅθεν ὡς λαβόντες τὰ ἄφθαρτα στέφη,
καὶ δορυφοροῦντες τὴν παναγίαν Τριάδα, ὑπὲρ ἡμῶν
αὐτὴν ἱκετεύσατε,
ὅπως νικήσαντες τὰ στίφη τῶν ἐχθροθέων παθῶν,
συμμέτοχοι τοῦ Παραδείσου μεθ᾽ ὑμῶν γενώμεθα.

Καὶ νῦν. Ἀναστάσεως ἡμέρα.
Δοξολογία μεγάλη καὶ τὰ λοιπὰ τοῦ Ὄρθρου.

Μεγαλυνάρια

www.tezaurliturgic.ro

Δόξαν προτιμήσαντες οὐρανῶν,
τοῦ παρόντος κόσμου,
ἀπηρνήσασθε τὰ τερπνά,
νικηταὶ φανέντες,
ἐχθροῦ σαρκὸς καὶ κόσμου,
Χριστοῦ οἱ στρατιῶται,
ἡμῖν ἐπεύχοισθε.

Σκέποιτε Ἑλλάδος στρατὸν ἀεί,
Μάρτυρες Κυρίου,
οἱ στρατείαν τὴν κοσμικήν,
πάντες ἀφιέντες,
διὰ Χριστοῦ τὴν πίστιν,
καὶ ἐν πολλαῖς βασάνοις,
καλῶς ἀθλήσαντες.

Στίχοι

Σκέπετε ἡμᾶς, Ἕλληνας στρατιώτας,
Χριστοῦ οἱ στρατιῶται, ὑμᾶς τιμῶντας.

Ἐτελειώθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα ἀκολουθία ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας Ἁγίου Ὄρους Ἄθω, τῇ 28. 1. 2000.